*Λεῦσσέ με τὸν Γᾶς τε βαθυστέρνου ἄνακτ᾽ Ἀκμονίδαν τ᾽ ἄλλυδις ἑδράσαντα*
*μηδὲ τρέσῃς, εἰ τοσος ὢν δάσκια βέβριθα λάχνᾳ γένεια.*
*τᾶμος ἐγὼ γὰρ γενόμαν, ἁνίκ᾽ ἔκραιν᾽ Ἀνάγκα*
*πάντα δ᾽ ἕκας εἶχε φράδεσσι λυγροῖς* [1]
*ἑρπετά, πάνθ᾽ ὅσ᾽ εἶρπε* [2]
*δι᾽ αἴθρας*

*Χάους τε·*
*οὔτι γε Κύπριδος παῖς*
*ὠκυπέτας Ἀρέϊος* [3] *καλεῦμαι·*
*οὔτε γὰρ ἔκρανα βίᾳ, πραΰνόῳ* [4] *δὲ πειθοῖ,*
*εἶκέ τέ μοι γαῖα θαλάσσας τε μυχοὶ χάλκεος οὐρανός τε·*
*τῶν δ᾽ ἐγὼ ἐκνοσφισάμαν ὠγύγιον σκᾶπτρον, ἔκρινον* [5] *δὲ θεοῖς θέμιστας.*

[1] ἕκᾱς εἶχε φράδεσσι λυγροῖς E, cf. Hesych. φραδέσι· βούλαις: mss ἐκτάσει καὶ φραδέσι (εἶκε φράδεσσι) λυγραῖς [2] εἶρπε E: mss ἕρπει [3] Ἀρέϊος E, for ᾱ cf. *Il.* 2. 676 and Ἀρραβία Theocr. 17. 86: mss δ᾽ ἀέριος, δ᾽ ἀέρος [4] Bgk: mss πραΰνω [5] Salm: mss ἔκραινον

# ΤΕΧΝΟΠΑΙΓΝΙΑ

## ΣΙΜΙΟΥ

### I.—ΠΕΛΕΚΥΣ

1 Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
3 τᾶμος, ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ᾐθάλωσεν
5 οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν
7 νῦν ἐς Ὁμήρειον ἔβα κέλευθον
9 τρὶς μάκαρ ὃν σὺ θυμῷ
11 ὅδ᾽ ὄλβος
12 ἀεὶ πνεῖ.
10 ἵλαος ἀμφιδέρχθῃς.
8 σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς.
6 ἀλλ᾽ ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλεῖς·[1]
4 Δαρδανιδᾶν, χρυσοβαφεῖς δ᾽ ἐστυφέλιξ᾽ ἐκ θεμέθλων ἄνακτας,
2 ὤπασ᾽ Ἐπειὸς πέλεκυν, τῷ ποτε πύργων θεοτεύκτων κατέρειψεν αἶπος

[1] δυσκλεῖς = δυσκλεὲς E: mss δύσκλης, δυσκλεής, δυσηλεής [2] μαιόμενος Wil: mss μοῦνος

13 Σιμμίας βαίνων κλυτὸς ἶσα θεοῖς ὡς εὗρε Ῥόδου γεγαὼς ὁ πολύτροπα μαιόμενος[2] μέτρα μολπῆς.

This line, the handle of the Axe, is missing from some of the mss, and is in all probability an interpolation from the *Egg* l. 20.

1 Κωτίλας
3 τῆ τόδ᾽ ἄτριον νέον
5 πρόφρων δὲ θυμῷ δέξο· δὴ γὰρ ἁγνᾶς
7 τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκειξε κᾶρυξ
9 ἄνωγε δ᾽ ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ᾽ ἀέξειν
11 θοῶς δ᾽ ὕπερθεν ὠκυλέχριον φέρων νεῦμα ποδῶν σποράδων πίφαυσκεν
13 θοαῖς ἴσ᾽ αἰόλαις νεβροῖς κῶλ᾽ ἀλλάσσων, ὀρσιπόδων ἐλάφων τέκεσσι·
15 πᾶσαι κραιπνοῖς ὑπὲρ ἄκρων ἱέμεναι ποσὶ λόφων κατ᾽ ἀρθμίας ἴχνος τιθήνας·
17 καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ᾽ αὐδὰν θὴρ ἐν κόλπῳ δεξάμενος θαλαμᾶν μυχοιτάτῳ
19 κᾆτ᾽ ὦκα βοᾶς ἀκοὰν μεθέπων ὅ γ᾽ ἄφαρ λάσιον νιφοβόλων ἀν᾽ ὀρέων ἔσσυται ἄγκος·
20 ταῖς δὴ δαίμων κλυτὸς ἶσα θοοῖσι ποσὶν δονέων ἅμα πολύπλοκα μεθίει μέτρα μολπᾶς.
18 ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὀρουσ᾽ εὐνὰν ματρὸς πλαγκτὸν μαιόμενος βαλιᾶς ἑλεῖν τέκος·
16 βλαχαὶ δ᾽ οἰῶν πολυβότων ἀν᾽ ὀρέων νομὸν ἔβαν τανυσφύρων τ᾽ ἐς ἄντρα Νυμφᾶν·
14 ταὶ δ᾽ ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ᾽ αἶψα μεθ᾽ ἱμερόεντα μαζόν,
12 ἴχνει θενὼν ταν παναίολον Πιερίδων μονόδουπον αὐδάν,
10 ἀριθμὸν εἰς ἄκραν δεκάδ᾽ ἰχνίων, κόσμον νέμοντα ῥυθμῶν,
8 φῦλ᾽ ἐς βροτῶν ὑπὸ φίλας ἑλὼν πτεροῖσι ματρός,
6 λίγειά μιν κάμ᾽ ἶφι ματρὸς ὠδίς·
4 Δωρίας ἀηδόνος·
2 ματέρος

## ΘΕΟΚΡΙΤΟΥ.—ΣΥΡΙΓΞ

Οὐδενὸς εὐνάτειρα μακροπτολέμοιο δὲ μάτηρ
μαίας ἀντιπέτροιο θοὸν τέκεν ἰθυντῆρα,
οὐχὶ κεράσταν, ὅν ποτε θρέψατο ταυροπάτωρ,
ἀλλ᾽ οὗ πειλιπὲς αἶθε πάρος φρένα τέρμα σάκους,
οὔνομ᾽ ὅλον δίζων, ὃς τᾶς Μέροπος πόθον
κούρας γηρυγόνας ἔχε τᾶς ἀνεμώκεος.
ὃς Μοίσᾳ λιγὺ πᾶξεν ἰοστεφάνῳ
ἕλκος ἄγαλμα πόθοιο πυρισμαράγου,[1]
ὃς σβέσεν ἀνορέαν ἰσαυδέα
παπποφόνου Τυρίας τ᾽ ἐξήλασεν·[2]
ᾧ τόδε τυφλοφόρων ἐρατὸν
πῆμα Πάρις θέτο Σιμιχίδας·
ψυχὰν ᾇ[3] βροτοβάμων
στήτας οἶστρε Σαέττας
κλωποπάτωρ ἀπάτωρ
λαρνακόγυιε χαρεὶς[4]
ἁδὺ μελίσδοις
ἔλλοπι κούρᾳ,
Καλλιόπᾳ
νηλεύστῳ.

[1] mss also πυρισφαράγου
[2] so Haeb: mss ἀφείλετο or gap
[3] ᾇ Hecker: mss ἀεὶ or ᾧ
[4] χαρεὶς Heck: mss χαίρεις

# ΔΩΣΙΑΔΑ ΔΩΡΙΕΩΣ

## ΒΩΜΟΣ

Εἰμάρσενός με στήτας
πόσις, μέροψ δίσαβος,
τεῦξ', οὐ σποδεύνας ἶνις Ἐμπούσας μόρος
Τεύκροιο βούτα καὶ κυνὸς τεκνώματος,
χρυσᾶς δ'[1] ἀΐτας, ἆμος ἐψάνδρα
τὸν γυιόχαλκον οὖρον ἔρραισεν,
ὃν ἀπάτωρ δίσευνος
μόγησε ματρόριπτος·
ἐμὸν δὲ τεῦγμ' ἀθρήσας
Θεοκρίτοιο κτάντας
τριεσπέροιο καύστας
θώυξεν αἴν' ἰύξας[2]
χάλεψε γάρ νιν ἰῷ
σύργαστρος ἐκδυγήρας[3]
τὸν δ' αἰλινεῦντ'[4] ἐν ἀμφικλύστῳ
Πανός τε ματρὸς εὐνέτας φῶρ
δίζῳος ἶνίς τ' ἀνδροβρῶτος Ἰλοραιστᾶν[5]
ἦρ' ἀρδίων ἐς Τευκρίδ' ἄγαγον τρίπορθον.

[1] χρυσᾶς E: mss χρυσὰς, -οῖς, -οῦς δ': added by Valckenaer [2] αἴν' ἰύξας Salm: mss ἀνιύξας [3] ἐκδυγήρας Salm: mss ἐκδὺς γῆρας [4] αἰλινεῦντ' Hecker: mss ἀελ λινεῦντ' or ἐλλινεῦντ' [5] mss ἰνοραίσταν, ἰλοραίστας, ἰλιοραίστας

## ΒΗΣΤΙΝΟΥ[1]

### ΒΩΜΟΣ

Ο λὸς οὔ με λιβρὸς ἱρῶν
Λ ιβάδεσσιν οἷα κάλχης[2]
Υ ποφοινίησι τέγγει,
Μ αῦλιες δ' ὕπερθε πέτρῃ Ναξίῃ[3] θοούμεναι
Π αμάτων φείδοντο Πανός, οὐ στροβίλῳ[4] λιγνύϊ
Ι ξὸς εὐώδης μελαίνει τρεχνέων με Νυσίων·
Ε ς γὰρ βωμὸν ὅρη με μήτε γλούρου[5]
Π λίνθοις μήτ' Ἀλύβης παγέντα[6] βώλοις,
Ο ὐδ' ὃν Κυνθογενὴς ἔτευξε φύτλη
Λ αβόντε μηκάδων κέρα,
Λ ισσαῖσιν ἀμφὶ δειράσιν
Ο σσαι νέμονται Κυνθίαις,
Ι σόρροπος πέλοιτό μοι·
Σ ὺν οὐρανοῦ γὰρ ἐκγόνοις
Ε ἰνάς μ' ἔτευξε γηγενής,
Τ άων ἀείζῳον τέχνην
Ε νευσε πάλμυς ἀφθίτων.
Σ ὺ δ', ὦ πιὼν κρήνηθεν ἣν
Ι νις κόλαψε Γοργόνος,
Θ ύοις τ' ἐπισπένδοις τ' ἐμοὶ
Υ μηττιάδων πολὺ λαροτέρην
Σ πονδὴν ἅδην· ἴθι δὴ θαρσέων
Ε ς ἐμὴν τεῦξιν, καθαρὸς γὰρ ἐγὼ
Ι ὸν ἱέντων τεράων, οἷα κέκευθ' ἐκεῖνος,
Α μφὶ Νέαις Θρηϊκίαις ὃν σχεδόθεν Μυρίνης
Σ οί, Τριπάτωρ, πορφυρέου φῶρ ἀνέθηκε κριοῦ.

[1] Βηστίνου Haeb : mss Βησαντίνου [2] κάλχης Brunck-E : mss κάχλην [3] mss πέτρης ναξίας [4] στροβίλῳ Salm : mss -ων [5] mss ὀρῇς μ. γλούρου Bgk : mss μ. ταγχούρου, μηταχούρου [6] λαβόντε Wil : mss -τα



*Fuentes:*
*Collectanea Alexandrina*, J. U. POWELL, ed., Oxford, Clarendon Press, 1925, rep. 1970.